# Übersetzungstext: Platon, Euthyphron (2a-c)

*Bildungsplanbezug:* [*Bildungsplan Gymnasium 3.1.4*]

ΕΥΘ Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις περὶ τὴν τοῦ βασιλέως στοάν; Οὐ γάρ που καὶ σοί γε δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα ὥσπερ ἐμοί.

ΣΩ Οὔτοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρων, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν.

ΕΥΘ Τί φῄς; Γραφὴν σέ τις, ὡς ἔοικε, γέγραπται· οὐ γὰρ ἐκεῖνό γε καταγνώσομαι, ὡς σὺ ἕτερον.

ΣΩ Οὐ γὰρ οὖν.

ΕΥΘ Ἀλλὰ σὲ ἄλλος;

ΣΩ Πάνυ γε.

ΕΥΘ Τίς οὗτος;

ΣΩ Οὐδ' αὐτὸς πάνυ τι γιγνώσκω,
ὦ Εὐθύφρων, τὸν ἄνδρα, νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς· ὀνομάζουσι μέντοι αὐτόν, ὡς ἐγῷμαι, Μέλητον.

ΕΥΘ Οὐκ ἐννοῶ, ὦ Σώκρατες· ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται;

**Τί νεώτερον** (*Kompar. zu* νέον) **γέγονεν, ὅτι ... ;** Was gibt's Neues, dass ….?

**τὸ Λύκειον,ου** Lykeion (→ *Vorerschließung*)

**ἡ διατριβή** Beschäftigung, Zeitvertreib

**κατα|λείπω ≈ λείπω**

**ἡ στοά** Säulenhalle

**διατρίβω περί** sich aufhalten bei

**οὐ γάρ που** doch wohl nicht

**ἡ δίκη** Privatprozess

**οὔ | τοι**

**καλέω** *m. dopp. Akk.* = nennen

**ἡ γραφή** öffentliche Anklage, Staatsklage

**γραφὴν γράφομαι** (*Medium!*) *m. Akk.* eine Schriftklage *gegen jdn.* einreichen

**ἔοικε(ν)** es scheint

**καταγνώσομαι** *Fut. zu* κατα|γιγνώσκω vermuten

**σὺ ἕτερον** *ergänze* γραφὴν γέγραψαι

**Οὐ γὰρ οὖν.** In der Tat nicht.

**Ἀλλὰ σὲ ἄλλος** *ergänze* γραφὴν γέγραπται

**Τίς οὗτος;** Wer denn?

**πάνυ τι** gar, überhaupt

**ἀ|γνώς**, *Gen.* αγνῶτος (*Adj. aus* ἀ- *und* γι|γνώ|σκω) unbekannt

**ἐγῷμαι** *aus* ἐγώ *und* οἶμαι (Krasis)

**Μέλητος** *Name eines sonst unbekannten jungen Mannes aus Athen*

**ἐν|νοέω** kennen

Diese Materialien sind unter der OER-konformen Lizenz CC BY 4.0 International verfügbar. Herausgeber: Landesbildungsserver Baden-Württemberg (www.schule-bw.de), Fachredaktion Griechisch. Urheberrechtsangaben gemäß www.schule-bw.de/urheberrecht sind zu beachten. Bitte beachten Sie eventuell abweichende Lizenzangaben bei den eingebundenen Bildern und anderen Materialien.